## *Œdipe Roi* de Sophocle

## TEXTE

ΟΙΔΙΠΟΥΣ Οὐδ᾽ εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον
ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾶν,
ἀνδρός γ᾽ ἀρίστου βασιλέως ὀλωλότος,
ἀλλ᾽ ἐξερευνᾶν· νῦν δ᾽ ἐπεὶ κυρῶ τ᾽ ἐγὼ
ἔχων μὲν ἀρχὰς ἃς ἐκεῖνος εἶχε πρίν,
ἔχων δὲ λέκτρα καὶ γυναῖχ᾽ ὁμόσπορον
κοινῶν τε παίδων κοίν᾽ ἄν, εἰ κείνῳ γένος
μὴ ᾽δυστύχησεν, ἦν ἂν ἐκπεφυκότα –
νῦν δ᾽ ἐς τὸ κείνου κρᾶτ᾽ ἐνήλαθ᾽ ἡ τύχη·
ἀνθ᾽ ὧν ἐγὼ τάδ᾽ , ὡσπερεὶ τοὐμοῦ πατρός,
ὑπερμαχοῦμαι, κἀπὶ πάντ᾽ ἀφίξομαι,
ζητῶν τὸν αὐτόχειρα τοῦ φόνου λαβεῖν,
τῷ Λαβδακείῳ παιδὶ Πολυδώρου τε καὶ
τοῦ πρόσθε Κάδμου τοῦ πάλαι τ᾽ Ἀγήνορος·
καὶ ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς
μήτ᾽ ἀροτὸν αὐτοῖς γῆς ἀνιέναι τινά,
μήτ᾽ οὖν γυναικῶν παῖδας, ἀλλὰ τῷ πότμῳ
τῷ νῦν φθερεῖσθαι κἄτι τοῦδ᾽ ἐχθίονι.
Ὑμῖν δὲ τοῖς ἄλλοισι Καδμείοις ὅσοις

τάδ’ ἔστ’ ἀρέσκονθ’ ἥ τε σύμμαχος Δίκη
χοἰ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοί.

ΧΟΡΟΣ Ὥσπερ μ’ ἀραῖον ἔλαβες, ὧδ’, ἄναξ, ἐρῶ·
οὔτ’ ἔκτανον γὰρ οὔτε τὸν κτανόντ’ ἔχω
δεῖξαι. Τὸ δὲ ζήτημα τοῦ πέμψαντος ἦν
Φοίβου τόδ’ εἰπεῖν, ὅστις εἴργασταί ποτε.

ΟΙ. Δίκαι’ ἔλεξας· ἀλλ’ ἀναγκάσαι θεοὺς
ἂν μὴ θέλωσιν οὐδ’ ἂν εἷς δύναιτ’ ἀνήρ.

ΧΟ. Τὰ δεύτερ’ ἐκ τῶνδ’ ἂν λέγοιμ’ ἅ μοι δοκεῖ.

ΟΙ. Εἰ καὶ τρίτ’ ἔστι, μὴ παρῇς τὸ μὴ οὐ φράσαι.

**ΧΟ. Ἄνακτ’ ἄνακτι ταὔθ’ ὁρῶντ’ ἐπίσταμαι**
**μάλιστα Φοίβῳ Τειρεσίαν, παρ’ οὗ τις ἂν**
**σκοπῶν τάδ’, ὦναξ, ἐκμάθοι σαφέστατα.**

**ΟΙ. Ἀλλ’ οὐκ ἐν ἀργοῖς οὐδὲ τοῦτ’ ἐπραξάμην·**
**ἔπεμψα γὰρ Κρέοντος εἰπόντος διπλοῦς**
**πομπούς· πάλαι δὲ μὴ παρὼν θαυμάζεται.**

**ΧΟ. Καὶ μὴν τά γ’ ἄλλα κωφὰ καὶ παλαί’ ἔπη.**

**ΟΙ. Τὰ ποῖα ταῦτα ; πάντα γὰρ σκοπῶ λόγον.**

**ΧΟ. Θανεῖν ἐλέχθη πρός τινων ὁδοιπόρων.**

***Œdipe Roi*, Sophocle, texte établi par A. Dain, Les Belles Lettres, 1958, vers 255 à 292.**